῾οἴμοι, τὸ κακὸν τῆς εὐτυχίας
ὡς μᾶλλον ἐς οὖς φέρεται θνητῶν᾽

ἐπὶ τῶν πολυπραγμόνων ἐστὶν εἰρημένον ἀληθῶς. ὡς γὰρ B αἱ σικύαι τὸ χείριστον ἐκ τῆς σαρκὸς ἕλκουσιν, οὕτως τὰ τῶν πολυπραγμόνων ὦτα τοὺς φαυλοτάτους λόγους ἐπισπᾶται. μᾶλλον δ᾽, ὥσπερ αἱ πόλεις ἔχουσί τινας πύλας ἀποφράδας καὶ σκυθρωπάς, δι᾽ ὧν ἐξάγουσι τοὺς θανατουμένους καὶ τὰ λύματα καὶ τοὺς καθαρμοὺς ἐκβάλλουσιν, εὐαγὲς δ᾽ οὐδὲν οὐδ᾽ ἱερὸν εἴσεισι οὐδ᾽ ἔξεισι δι᾽ αὐτῶν, οὕτω καὶ τὰ τῶν πολυπραγμόνων ὦτα χρηστὸν οὐδὲν οὐδ᾽ ἀστεῖον ἀλλ᾽ οἱ φονικοὶ λόγοι διέρχονται καὶ τρίβουσιν, ἐκθύσιμα καὶ μιαρὰ διηγήματα παρακομίζοντες.

῾ἀεὶ δ᾽ ἀοιδῶν μοῦνος ἐν στέγαις ἐμαῖς
κωκυτὸς ἐμπέπτωκεν᾽ (Tr. adesp. 387)·

αὕτη τοῖς πολυπράγμοσι ῾μοῦσα καὶ σειρὴν μία᾽, τοῦθ᾽ C ἥδιστον ἀκουσμάτων αὐτοῖς.

Ἔστι γὰρ ἡ πολυπραγμοσύνη φιλοπευστία τῶν ἐν ἀποκρύψει καὶ λανθανόντων· οὐδεὶς δ᾽ ἀγαθὸν ἀποκρύπτει κεκτημένος, ὅπου καὶ τὰ μὴ ὄντα προσποιοῦνται. κακῶν οὖν ἱστορίας ὁ πολυπράγμων ὀρεγόμενος ἐπιχαιρεκακίας συνέχεται πάθει, φθόνου καὶ βασκανίας ἀδελφῷ. φθόνος μὲν γάρ ἐστι λύπη ἐπ᾽ ἀλλοτρίοις ἀγαθοῖς, ἐπιχαιρεκακία δ᾽ ἡδονὴ ἐπ᾽ ἀλλοτρίοις κακοῖς· ἀμφότερα δ᾽ ἐκ πάθους ἀνημέρου καὶ θηριώδους γεγένηται τῆς κακοηθείας. (7.) οὕτω δ᾽ ἑκάστῳ λυπηρόν ἐστιν ἡ τῶν περὶ αὑτὸν